Ζεὺς καὶ μοιχὸς, διὰ τοῦτο ὄρχιλον παρέλαβε διὰ τοὺς A ὄρχεις. τὸ δὲ σέρφον ἔνορχιν ὡς κελὸν ἔνορχιν. δῆλον δὲ ἐντεῦθεν, ὅτι οὐχ ὡς οἴονταί τινες σπέρμα τι ὁ σέρφος. ζῶον γάρ ἐστι μυρμηκῶδες. Ἠθέλω σέρφῳ.] ὡς καταφρονῶν αὐτοῦ φησί. καὶ δωρεῖζειν πολλάκις ἐπιτηδεύουσιν. Αὐτίκα Νίκη πέτεται.] νεωτερικὸν τὸ τὴν Νίκην καὶ τὸν Ἔρωτα ἐπτερῶσθαι. Ἀρχέννους γάρ φησι, καὶ τὸν Βουπάλου καὶ Ἀθηνίδος πατέρα, οἱ δὲ Ἀγλαοφῶντα τὸν Θάσιον ζωγράφον, πτηνὴν ἐργάσασθαι τὴν Νίκην. ὡς οἱ περὶ Καρύστιον τὸν Περγαμηνόν φασιν. Ἶριν δ᾽ ἔγ᾽ Ὅμηρος.] ὅτι ψεύδεται παίζων. οὐ γὰρ ἐπὶ Ἴριδος. ἀλλ᾽ ἐπὶ Ἀθηνᾶς καὶ Ἥρας. αἱ δὲ βάσιν τρήρωσι πελειάσιν ἴθμαθ᾽ ὁμοῖαι. οἱ δὲ ἐν ἑτέροις φασὶ ποιήμασιν Ὁμήρου τοῦτο φέρεσθαι. εἰσὶ γὰρ καὶ κύμινοι.

Καὶ σπερμολόγων, ἐκ τῶν ἀγρῶν τὸ σπέρμ᾽ αὐτῶν B
ἀνακάψαι, (τρείτω.
Κἄπειτ᾽ αὐτοῖς ἡ Δημήτηρ πυροὺς πεινῶσι με-
Επ. Οὐκ ἐθελήσει μὰ Δί᾽ ἀλλ᾽ ὄψει προφάσεις
αὐτὴν παρέχουσαν.
Πι. Οἱ δ᾽ αὖ κόρακες τῶν ζευγαρίων οἷσι τὴν
γῆν κατεροῦσι,
Καὶ τῶν προβάτων τοὺς ὀφθαλμοὺς ἐκκοψάντων
ἐπὶ πείρᾳ. C
Εἶθ᾽ ὁ γ᾽ Ἀπόλλων ἰατρὸς ὢν, ἰάσθω, μισθοφορεῖ δέ.
Ευ. Μὴ πρίν γ᾽ ἂν ἐγὼ τὼ βοϊδαρίω τὼ 'μὼ
πρῶτος ἀποδῶμαι.
Πι. Ἢν δ᾽ ἡγῶνταί σε θεὸν, σὲ βίον, σὲ δὲ γῆν, σὲ
Κρόνον, σὲ Ποσειδῶ,
Ἀγαθ᾽ αὐτοῖσιν πάντα παρέσται. Χο. λέγε δή μοι
τῶν ἀγαθῶν ἕν.
Πι. Πρῶτα μὲν αὐτῶν τὰς οἰνάνθας οἱ πάρνοπες D
οὐ κατέδονται.
Ἀλλὰ γλαυκῶν λόχος εἷς αὐτοὺς, καὶ κερχνῄδων
ἐπιτρίψει.
Εἶθ᾽ οἱ κνῖπες καὶ ψῆνες ἀεὶ τὰς συκᾶς οὐ κατέδονται.
Ἀλλ᾽ ἀναλέξει πάντας καθαρῶς αὐτοὺς ἀγέλη
μία κιχλῶν.
Επ. Πλουτεῖν δὲ πόθεν δώσομεν αὐτοῖς; καὶ γὰρ τούτου σφόδρ᾽ ἐρῶσιν.
Πι. Τὰ μέταλλ᾽ αὐτοῖς μαντευομένοις, οὗτοι δώ- E
σουσι τὰ χρηστά.
Τάς τ᾽ ἐμπορίας τὰς κερδαλέας, πρὸς τὸν μάν-
τιν κατεροῦσιν.
Ὥστ᾽ οὐκ ἀπολεῖται τῶν ναυκλήρων οὐδείς. Χο. πῶς
οὐκ ἀπολεῖται;
Πι. Προερεῖ τις ἀεὶ τῶν ὀρνίθων μαντευομένῳ
περὶ τοῦ πλοῦ. (ἔσται.
Νυνὶ μὴ πλεῖ, χειμὼν ἔσται. νυνὶ πλεῖ, κέρδος F

*Et seminum lectorum ex agris semen ipsorum
deuorare,*
*Et postea ipsis Ceres frumenta famescentibus
mensuret.*
EP. *Non volet per Iouem, sed videbis excusationes ipsam præbentem.*
PI. *Hi autem rursus corui iugalium quibus terram arant,*
*Et ouium oculos eiiciant in tentatione,*
*Postea Apollo medicus existens sanet, mercedem sumat autem.*
EV. *Nō antequam ego boues hos meos primùm vendam.*
PI. *Si autem putant te deum, te vitam, te autem terram, te Saturnum, te Neptunum,*
*Bona ipsis omnia aderunt.* CH. *Dic iam mihi horum bonorum vnum.*
PI. *Primùm quidem ipsorum vineas parnopes non edunt,*
*Sed noctuarum insidiæ in ipsos & cerchneidum inuehet.*
*Postea culices & auiculæ semper ficos non edunt,*
*Sed expellet omnes apertè ipsos armentum vnum turdorum.*
EP. *Ditescere autem vnde dabimus ipsis? etenim hoc valde amant.*
PI. *Metalla ipsis inquirentibus, hi dabunt bona,*
*Hásque mercaturas vtiles, ad vatem dicent:*
*Quare non peribit nauicularius nullus.* CHO. *Quomodo non peribit?*
PI. *Prædicet aliquis semper auium, inquirenti circa nauigationem,*
*Nunc non nauiga, hyems erit: nunc nauiga, lucrum inerit.*

Σχόλια. Σπερμολόγων.] ὄνομα ὀρνέων ἃ ἐκ τοῦ ὀρύττειν τὰ σπέρματα καὶ ἐσθίειν οὕτως ὠνομάσθησαν.

BISETVS. Εὐστάθιος. σπερμολόγος, ὄρνεον λυμαινόμενον τοῖς σπορίμοις, ὃ καὶ σπερμονόμος λέγεται. καὶ σπερμολόγους ἐκάλουν οἱ Ἀττικοὶ τοὺς περὶ τὰ ἐμπόρια, καὶ τὰς ἀγορὰς διατρίβοντας, καὶ τὰ ἐκ φορτίων διαπίπτοντα ἀναλεγομένους. καὶ σπερμολόγοι τροπικῶς οἱ ἐπὶ συλλέκτοις μαθήμασιν ἀλαζονευόμενοι, καὶ οἱ μηδενὸς λόγου ἄξιοι, ὅθεν καὶ σπερμολογεῖν ῥῆμα. G

Σχόλια. Οὐκ ἐθελήσει.] ἀντὶ τοῦ οὐ δυνήσεται. Ὅμηρος. οὐδ᾽ ἔθελει προρέειν. Οἱ δ᾽ αὖ κόρακες.] ἐπιβουλεύειν τέ φησι τοῖς ἀνθρώποις ἐὰν μὴ τιμήσωσιν ὑμᾶς. τοὺς γὰρ βοῦς ἐπὶ γεωργίαν χρειώδεις ὄντας ἀνθρώποις τυφλοῦτε καὶ τὰ πρόβατα ἐξ ὧν τὴν ἐσθῆτα ἔχουσι. Ἐπὶ πείρᾳ.] ἐπὶ βλάβῃ. ἢ ἵνα πειραθῶσιν ἡμῶν εἰ θεοί ἐσμεν. Μισθοφορεῖ δέ.] ὁ δὲ ἀντὶ τοῦ γάρ. τοῦτο δὲ εἶπεν, ἐπεὶ Λαομέδοντα τῆς τειχοδομίας μισθὸν ᾔτησεν.

BISETVS. Ὅμηρος Ιλ. Φ.
Μοῦνοι νῶϊ θεῶν ὅτ᾽ ἀγήνορι Λαομέδοντι
Πὰρ Διὸς ἐλθόντες θητεύσαμεν εἰς ἐνιαυτὸν
Μισθῷ ἐπὶ ῥητῷ. ὁ δὲ σημαίνων ἐπέτελλεν.
Ἤτοι ἐγὼ Τρώεσσι πόλιν, καὶ τεῖχος ἔδειμα
Εὐρύ τε, καὶ μάλα καλὸν, ἵν᾽ ἄρρηκτος πόλις εἴη.
Φοῖβε σὺ δ᾽ εἰλίποδας ἕλικας βοῦς βουκολέεσκες.

Σχόλια. Τὰς οἰνάνθας.] οἰνάνθη ἡ πρώτη ἔκφυσις τῆς σταφυλῆς. καὶ Εὐριπίδης. οἰνάνθα ἃ καθαμέριον στάζει. καὶ τὴν πολύκαρπον οἰνάνθας ἱεῖσα βότρυν. Γλαυκῶν λόχος.] γλαὺξ. εἶδος ὀρνέου. λόχος δὲ τὸ σύστημα. ὥσπερ ἀγὰν νέφος ἔφη.